eul_wid: nhu-aa

Ἀκέσανδρος ὁ ἱστορικός · Akesandros the Historian

# Fragments on Mythological Genealogy

Ἀποσπάσματα περὶ Μυθολογικῆς Γενεαλογίας

**Period:** Ἑλληνιστική Hellenistic
**Dialect:** Κοινή Koine (frg)
**Domain:** Ἱστορία History
**Format:** Συναγωγή Collection

3b,469,F 1 SCHOL. PINDAR. Pyth. 4, 57 (TZETZ. Lykophr. 886): φάτο δ' Εὐρύπυλος Γαιαόχου παῖς ἀφθίτου Ἐννοσίδα ἔμμεναι] τοῦτον Ἀπολλώνιος (4, 1552; 1561) ποτὲ μὲν Εὐρύπυλον προσαγορεύει, ποτὲ δὲ Τρίτωνα. Ἀκέσανδρος δέ φησιν ἀδελφὸν εἶναι τὸν Εὐρύπυλον Τρίτωνος, γράφων οὕτως· « Εὐρύπυλος Ποσειδῶνος καὶ Κελαινοῦς τῆς Ἄτλαντο ς , Τρίτωνος ἀδελφό ς . οὗτος γαμεῖ Στερόπην τὴν Ἡλίο υ , Πασιφάης ἀδελφή ν , καὶ γίνονται αὐτῶι παῖδες δύ ο , Λυκάων καὶ Λεύκιππο ς» .

3b,469,F 2 SCHOL. PINDAR. Pyth. 9, 27b: (Ὑψεύς) ὅν ποτε Πίνδου κλεενναῖς ἐν πτυχαῖς Ναὶς εὐφρανθεῖσα Πηνειοῦ λέχει Κρέοις' ἔτικτε, Γαίας θυγάτηρ· ὁ δὲ τὰν εὐώλενον θρέψατο παῖδα Κυράναν] Ναίδος δὲ καὶ Πηνειοῦ τὸν Ὑψέα Φερεκύδης (3 F 57), Ἀκέσανδρος δὲ Φιλύρας τῆς Ἀσωποῦ καὶ Πηνειοῦ ἱστορεῖ τὸν Ὑψέ α .

3b,469,F 3 SCHOL. APOLL. RHOD. 4, 1561c: εἰ δή τιν' ἀκούετε νόσφιν ἐόντες / Εὐρύπυλον Λιβύηι θηροτρόφωι ἐγγεγαῶτα] Εὐρύπυλος Ποσειδῶνος υἱὸς καὶ Κελαινοῦς τῆς Ἄτλαντος, βασιλεὺς δὲ Κυρήνης. Φύλαρχος (81 F 15) δὲ ἐν ζ Εὔρυτον αὐτὸν καλεῖ, καὶ ἀδελφὸν αὐτοῦ ἀναγράφει Λυκάονα. Ἀκέσανδρος δὲ ἐν α Περὶ Κυρήνης [τῆς Ὑψέως] μετ' αὐτὸν βασιλεῦσαί φησι Λιβύης Κυρήνην τὴν Ὑψέως. μνημονεύει τοῦ Εὐρυπύλου καὶ Καλλίμαχος (Hymn. Apoll. 92).

3b,469,F 4* SCHOL. APOLL. RHOD. 2, 498/527a: (316 F 3) Ἀκέσανδρος δὲ ἐν τοῖς Περὶ Κυρήνης ἱστορεῖ, ἐπ' Εὐρυπύλου βασιλεύοντος ἐν Λιβύηι ὡς ὑπὸ Ἀπόλλωνος διακομισθείη ἡ Κυρήνη, λέοντος δὲ τὴν χώραν λυμαινομένου προθείη τὴν βασιλείαν ὁ Εὐρύπυλος ἆθλον τῶι ἀποκτενοῦντι τὸν λέοντα, τὴν δὲ(?) διαχρήσασθαι αὐτὸν καὶ τὴν βασιλείαν λαβεῖν· παῖδας δὲ αὐτῆς γενέσθαι Αὐτοῦχον καὶ Ἀρισταῖον. φησὶ δὲ αὐτὴν Φύλαρχος (81 F 16) ἐλθεῖν μετὰ πλειόνων εἰς Λιβύην, τούτων δὲ ἐκπεμφθέντων ἐπὶ τὴν κυνηγίαν, τούτοις καὶ αὐτὴν συνεξελθεῖν.

3b,469,F 5a SCHOL. APOLL. RHOD. 4, 1750/7: Εὔφημος ᾤικει τὴν Λακωνικὴν παρὰ τὸν αἰγιαλόν· εἷς δέ τις αὐτοῦ τῶν ἀπογόνων Σάμος ᾤικισεν Θήραν, οὗ ἀπόγονος γέγονεν Ἀριστοτέλης, ὃς τῆς περὶ Κυρήνην ἀποικίας ἡγήσατο. ἱστορεῖται ταῦτα παρὰ Πινδάρωι ἐν Πυθιονίκαις (4; 5), ἐπιμελέστερον δὲ παρὰ Θεοχρήστωι ἐν α Λιβυκῶν (III C) καὶ παρὰ Ἀκεσάνδρωι ἐν α Περὶ Κυρήνη ς .

3b,469,F 5b —4, 1552: καὶ Πίνδαρος ἐν Πυθιονίκαις (4, 20 ff.) ἐν τῆι εἰς Ἀρκεσίλαον ὠιδῆι τὴν τοῦ Τρίτωνος ἐπιφάνειαν λέγει· ἔστι δὲ παρὰ τοῖς γεγραφόσι τὰ Περὶ Κυρήνης καὶ Λιβύης.

3b,469,F 6 SCHOL. PINDAR. Pyth. 4 inscr. b: Ἡρόδοτος (4, 155) μὲν οὖν φησιν, ὅτι ἡ Πυθία τὸν πρῶτον Βάττον οὕτω προσηγόρευσεν Ἀριστοτέλην πρότερον λεγόμενον τῆι Λιβύων φωνῆι. Λίβυες γὰρ βάττους τοὺς βασιλεῖς λέγουσιν. οἱ δὲ ὅτι ἰσχνόφωνος ἦν, καὶ περὶ τῆς φωνῆς πυνθανόμενον ἡ Πυθία Βάττον προσηγόρευσεν, ἐπεὶ καὶ τὸ ἐπέχεσθαι τὴν γλῶτταν βατταρίζειν φαμέν. ἔνιοι δὲ Κόκκυγα αὐτὸν καλεῖσθαι διὰ τὸ μὴ γεγωνὸς φθέγγεσθαι. ὁ δὲ Ἀκέσανδρος μὴ ἐκ γενετῆς αὐτόν φησιν ἰσχνόφωνον γεγενῆσθα ι , ἀλ λ ’ ἀπὸ ταὐτομάτου δεθῆναι τὴν γλῶτταν · « ἦν δὲ ὁ ἀνὴρ ῥητορικό ς » φησ ί , « καὶ συμβουλεύσασθαι δυνάμενο ς» .

3b,469,F 7 PLUTARCH. Quaest. conv. 5, 2 p. 675 AB: ὡς δὴ καὶ λόγων ἆθλα τοῦ Ἀχιλλέως προθέντος ἀφείς, εἶπον ὅτι καὶ Πελίαν θάπτων Ἄκαστος ὁ υἱὸς ἀγῶνα ποιήματος παράσχοι, καὶ Σίβυλλα νικήσειεν. ἐπιφυομένων δὲ πολλῶν καὶ τὸν βεβαιωτὴν ὡς ἀπίστου 〈καὶ〉 παραλόγου τῆς ἱστορίας ἀπαιτούντων, ἐπιτυχῶς ἀναμνησθεὶς ἀπέφαινον Ἀκέσανδρον ἐν τῶι Περὶ Λιβύης ταῦθ’ ἱστοροῦντα. ‘καὶ τοῦτο μέν‘ ἔφην ‘τὸ ἀνάγνωσμα τῶν οὐκ ἐν μέσωι ἐστίν, τοῖς δὲ Πολέμωνος τοῦ Ἀθηναίου Περὶ τῶν ἐν Δελφοῖς θησαυρῶν (IV) οἴμαι [ὅτι] πολλοῖς ὑμῶν ἐντυγχάνειν ἐπιμελές ἐστι ....· ἐκεῖ νῦν εὑρήσετε γεγραμμένον, ὡς ἐν τῶι Σικυωνίων θησαυρῶι χρυσοῦν ἀνέκειτο βιβλίον, Ἀριστομάχης ἀνάθημα τῆς Ἐρυθραίας, ἐπικῶι ποιήματι δὶς Ἴσθμια νενικηκυίας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org